ἀποθνήσκων εἴρηκε· νῦν ἐστηρίχθη ὑπερηφανία καὶ ἐλεγμός· καὶ καιρὸς
καταστροφῆς καὶ ὀργὴ θυμοῦ· καὶ νῦν τέκνα ζηλώσατε τῷ νόμῳ· καὶ δότε
τὰς ψυχὰς ὑπὲρ διαθήκης πατέρων ἡμῶν· μνήσθητε τῶν πατέρων ἡμῶν τὰ
ἔργα ἃ ἐποίησαν ἐν ταῖς γενεαῖς αὐτῶν. καὶ δέξασθε δόξαν μεγάλην.
καὶ ὄνομα αἰώνιον· ἀβραὰμ οὐκ ἐν πειρασμῷ εὑρέθη πιστός· καὶ
ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην; ἰωσὴφ ἐν καιρῷ στενοχωρίας αὐτοῦ
ἐφύλαξεν ἐντολήν, καὶ ἐγένετο κύριος αἰγύπτου· φινεὲς ὁ πατὴρ ἡμῶν
ἐν τῷ ζηλῶσαι ζῆλον ἔλαβε διαθήκην ἱερωσύνης αἰωνίας· ἰησοῦς
ἐν τῷ πληρῶσαι λόγον, ἐγένετο κριτὴς ἐν ἰσραήλ· χαλὲβ ἐν τῷ ἐπιμαρτύ-
ρασθαι ἐν τῇ ἐκκλησίᾳ, ἔλαβε γῆς κληρονομίαν· δαβὶδ ἐν τῷ ἐλέει
αὐτοῦ, ἐκληρονόμησε θρόνον βασιλείας εἰς αἰῶνα αἰῶνος· ἠλίας
ἐν τῷ ζηλῶσαι ζῆλον νόμου, ἀνελήφθη ἕως εἰς οὐρανόν· ἀνανίας ἀζαρίας
μισαήλ, πιστεύσαντες, ἐσώθησαν ἐκ φλογός· δανιὴλ ἐν τῇ ἁπλό-
τητι αὐτοῦ, ἐρρύσθη ἐκ στόματος λεόντων· καὶ οὕτως ἐννοήθητε κατὰ
γενεὰν καὶ γενεάν· ὅτι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτὸν οὐκ ἀσθε-
νήσουσι· καὶ ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ μὴ φοβηθῆτε· ὅτι ἡ
δόξα αὐτοῦ εἰς σκώληκας· σήμερον ἐπαρθήσεται, καὶ αὔριον οὐ μὴ
εὑρεθῇ· ἀπειλῶν μὲν ἐνταῦθα αἰῶνι, λέγων· καὶ νῦν λέγει ὁ θεὸς ἡμῶν·
ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν· ἐν νηστείᾳ καὶ ἐν κλαυ-
θμῷ καὶ ἐν κοπετῷ· καὶ διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν,